*Atheniensis* 1481, f. 2 recto

Νεοφύτου διδασκαλία περεὶ τῶν ἐν τοῖς ὀδοῦσι παθων

Ἐν τοῖς ὀδοῦσι παθῶν ἔνια μὲν ἐναργῶς ἅπασι φαίνεται καθαπερ [ ] ὅταν οἱ τοιοῦτοι τρηθῶσιν ἢ μελανθῶσιν ἢ ἐκτριβῶσιν ἢ με[ ] τῶν ψυχρῶν ἀναχέονται μή τε τῶν θερμῶν ἀλλ᾽ ἐπ᾽ ἀμφοτέροις [ ] τέρω μόνω συμβαίνει τις αὐτοῖς ὀδύνη τινά δ᾽ οὐ φαίνεται [ ] τῶν ἐν αὐτοῖς παθῶν ὥσπερ ὅταν ὁ πάσχων αὐτὸν αἰσθά[ ] τῆς κατὰ τὸ σῶμα τοῦ ὀδόντος ὀδύνης ἐν βάθει γιγνωμένης ἀντι [ ] ἔνιοι φάσκον δὲ ὀστοῦν ὅταν τὸν ὀδόντα χωρὶς ὀδύνης πάσχει [ ] τῇ καλουμένῃ τὰς ὑπεροχὰς αὐτῶν ἀναγκα[ ] δι᾽ ἄλλην τινα πρόφασιν ἣν ὀλίγον ὕστερον ἐρῶ νυν [ ] χωρὶς λογικῆς τε καὶ φυσικῆς ἀποδειξέως μαρτυρῆσαι τοῖς [ ] αὐτὸν ἀλγεῖν τὸν ὀδόντα καὶ γὰρ κἀγὼ ἀλγήσας ἀκριβῶς ἐμαυτοῦ προσέσχων

f. 2 verso

ὡς ἂν ἤδη προακηκοὼς τῆς ἀμφισβητήσεως ᾐσθανόμην τὲ σαφῶς οὐ μόνον ἀλγοῦντος ἀλλὰ καὶ σφύζοντος τοῦ ὀδόντος ὁμοίως ταῖς φλεγμαινούσαις σαρξίν ὥστε με θαυμάζειν εἰ και τοῦτο τὸ πάθος ὃ καλοῦμεν φλεγμονήν, ἐν ὀδόντι γενέσθαι δύναται λιθώδη καὶ σκληρὰν οὐσίαν ἔχοντι καὶ μέντοι καὶ καθ᾽ ἕτερον καιρὸν ἀλγήσθαι ὀδόντα σαφῶς ᾐσθόμην οὐκ αὐτοῦ τοῦ ὀδόντος ἀλλὰ τῶν οὐλῶν εἶναι τὸ ἄλγημα φλεγμαινόντων δὲ αὐτῶν ὡς καὶ χωρὶς τῆς θλΐψεως ἀλγεῖν ἀλλὰ καὶ τῇ γειτνιάσει τῶν ὀδόντων σκληρῶν ὄντων αὐξανομενης τῆς ὀδύνης διὰ τὴν θλΐψιν ὥστε ἑκατέρας τῆς αἰσθήσεως πεπειραμένος ἄλλης μεν ἐπι τοῖς οὔλοις ἄλλοις δ᾽ ἐπ᾽ αὐτῆς τῆς τοῦ ὀδόντος οὐσίας σαφῶς οἶδα καὶ μαρτύρω τοῖς λέγουσιν ἀλγεῖν αὐτοὺς τοὺς ὀδόντας ποτὲ καὶ μέντοι καὶ τῶν καταφυομένω νεύρω τηρίζῃ τοῦ ὀδόντος ὀδύνη γίνεται ποτὲ τοῦ νεύρου φαντασίαν

f. 3 recto

συγκεχυμένην καὶ ἀδιάρθρωτον τοῖς πολλοῖς φέρουσα ὡς αὐτοῦ τοῦ ὀδόντος ἀλγοῦντος εὔλογόν ἐστι καὶ γὰρ καὶ τούτου σαφῶς ᾐσθόμην ποτὲ συμβάντος μοι καὶ τότε διαμένειν ἔτι μέρος σμικρὸν τῆς ὀδύνης ἐξαιρεθέντος τοῦ ὀδόντος ἐπὶ τῇ τοῦ νεύρου γίνεται φλεγμονῇ κουφιζομένου μόνον ἐκ τοῦ μηκέτι μηδὲν γίνεσθαι τῆς πρὸ τὸ τεῖνον ὀστοῦν συμφυσέως ἐλευθερωδὲν ἀναπνοὴν ἥντινα οὖν σχεῖν καὶ τῶν προφερομένων ἰαμάτων ψαύειν οὔτε γὰρ κατὰ ψαύσιν οὔτε κατὰ διάδοσιν οἷόν τε τὸ φλεγμαῖνον ἰᾶσθαι νεῦρον ἑκατέρωθεν μὲν ὑπὸ τῶν φατνΐων στεγόμενον ἔμπροσθεν δ᾽ ὑπ᾽ αὐτοῦ τοῦ ὀδόντος εἰ δὲ πελιδνὸς δι᾽ ὅλης ἑαυτῶν τῆς οὐδίας οἱ ὀδοντὲς φαίνονται ποτὲ γιγνόμενοι θαυμαστὸν οὐδὲν ἐστὶ πάσχειν αὐτοὺς τίς καὶ τῇ φλεγμονὴ παραπλησιον ἔτι δὲ μᾶλλον αὖτις τοῦτο πιστεύσειεν ἐν τῶ τρέφεσθαι

f. 3 verso

ἐν ἅπαντι τῶ τῆς ζωῆς χρόνω τὴν αὔξησιν ἔχειν ἐναργῶς γὰρ τοῦτος [ ] πολλάκις ἐπὶ τῶν ἀντιφυομένων τοῖς ἐξαιρεθεῖσιν ὀδοῦσιν [ ] αὐξανομένων μὲν διὰ παντὸς αὐτῶν ὅσον δ᾽ αὐξάνονται τοσοῦτον τῆς [ ] τί λειώσει τριβομένων δαπανῶνται εἰ δ᾽ ἀδύνατόν ἐστι αὔξα[ ] τοῦ τρέφεσθαι πάντως που καὶ δυσὶν ὑποκείσονται παθήμασιν [ ] ἔνδεια τε και πλεονεξία τῆς χορηγουμένης αὐτοῖς τροφῆς ἡ[ ] ἔνδεια ξηροτέρου τὲ καὶ